# TEZAUR LITURGIC

## 13 OCTOMBRIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA SF.MUCENIȚE HRISIA DE LA MEGLENA BULGARIEI

ATENA,2020

www.tezaurliturgic.ro



# ΤΗ ΙΓ΄ΤΟΥ ΜΗΝΟΣ ΟΚΤΩΒΡΙΟΥ
# Μνήμη τῆς Ἁγίας Νεομάρτυρος Χρυσῆς τῆς Παρθένου
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## Εἰς τὸν Ἑσπερινόν

Μετὰ τὸν Προοιμιακόν, τὸ Μακάριος ἀνήρ. Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν Στίχους καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοιοι τῆς Ἁγίας. Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Τὴν χρυσεπώνυμον κόρην καὶ καλλιπάρθενον, Χρυσῆν τὴν Ἀθληφόρον, εὐφημήσωμεν πάντες· αὕτη γὰρ νομίμως ὑπὲρ Χριστοῦ, ἐν ἀθλήσει ἠνδρίσατο, καὶ καθελοῦσα τὸν ὄφιν τὸν σκολιόν, μαρτυρίου δόξαν εὕρατο.

Χρυσέοις ἤθεσι Μάρτυς κεκοσμημένη Χρυσῆ, τὴν προσβολὴν ὑπέστης, τοῦ· δολίου Βελίαρ, καὶ ἤνεγκας τυράννων τὰς ἀπειλάς, ἀπτοήτῳ φρονήματι· ἔνθεν βασάνους ὑπέστης πολυειδεῖς, δι᾽ ἀγάπην τοῦ νυμφίου σου.

Σήμερον χαίρει πατρίς σου Χρυσῆ Θεόνυμφε, ἡ τῇ σεπτῇ σοῦ κλήσει, τιμωμένῃ ἀξίως, καὶ ἄγει τὴν ἁγίαν σου ἑορτήν, εὐφροσύνως βοῶσά σοι· Σύ μου προστάτις καὶ κλέος Μάρτυς Χριστοῦ, καὶ μεσῖτις πρὸς τὸν Κύριον.

Προσύμοια ἕτερα. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.
Ὡς παρθένος ἀκήρατος, τὴν ἁγνείαν σου ἄμωμον, τῷ Χριστῷ ἐτήρησας θείῳ ἔρωτι, καὶ τῶν τυράννων τὴν ἔφοδον, καὶ πᾶσαν ἐπίνοιαν, καὶ βασάνους χαλεπάς, ἃς ἡμέραις ἐν πλείοσι, σοὶ ἐπήγαγον, καθυπέστης ψυχῇ ἀγαλλομένῃ, ἐν τῇ ἄνωθεν ἰσχύϊ, Χρυσῆ Χριστοῦ νύμφη ἀφθορε.
Ὡς χρυσίον πολύτιμον, ταῖς ποιναῖς τῆς ἀθλήσεως, ἐλαμπρύνθης πάνσεμνε καὶ ἀπήστραψας, θείας ἀγάπης λαμπρότητα, Μαρτύρων στεῤῥότητα, καὶ ἀνδρείαν ψυχικήν, καὶ καθεῖλες τὸν δράκοντα, προσβαλόντα σοι, δι᾽ οἰκείων Χρυσῆ καὶ ἀλλοτρίων, καὶ ἐνήθλησας ἀνδρείως, ὑπὲρ Χριστοῦ τοῦ νυμφίου σου·
Ὡς χρυσόπτερος πέλεια, ἐκ τοῦ δένδρου ἀνέδραμες, καλιὰν πρὸς ἄφθαρτον καὶ οὐράνιον, κατακοπεῖσα τὸ σῶμά σου, τυράννων ὠμότητι, καὶ Μαρτύρων τοῖς χοροῖς, Νεομάρτυς ἠρίθμησαι, τὰ δὲ μέλη σου, βεβαμμένα αἱμάτων σου τοῖς λύθροις, οἱ πιστοὶ λάθρα λαβόντες, ταφῇ ὁσίᾳ παρέδωκαν·
Δόξα. Ἦχος β΄.
Παρθενικῇ ὡραϊσμένῃ χάριτι, μαρτυρικοῖς ἀγῶσιν ἠνδραγάθησας, ἀῤῥενωθεῖσα τῷ φρονήματι, Χρυσῆ παμμακάριστε· τῆς γὰρ ἁγνείας τὸν πλοῦτον, νοΐ τελείῳ φυλάττουσα, τὸν ἐπελθόντα σοι ὑπούλως, ἀπεκρούσω ἐχθρόν· οὐ γὰρ ἄνθος νεότητος, οὔ τὸ χαῦνον τοῦ θήλεος, ἀλλ᾽ οὐδ᾽ ἀπειλαὶ καὶ μάστιγες, τὴν σὴν ψυχὴν ἐσάλευσαν, τῆς κρείττονος στάσεως·

ὅθεν καλῶς ἀγωνισαμένη, τῶν πάλαι Μαρτύρων, ἰσότιμος ὤφθης, λαμπαδηφόρος εἰσελθοῦσα, , εἰς τὸν οὐράνιον νυμφῶνα. Ἀλλ᾽ ὦ Παρθένε Θεόνυμφε, καὶ Μάρτυς ἀήττητε, ἀπαύστως πρέσβευε, ὑπὲρ τῶν τιμώντων σε.

Καὶ νῦν. Θεοτοκίον.

Παρῆλθεν ἡ σκιὰ τοῦ νόμου, τῆς χάριτος ἐλθούσης...

Εἴσοδος. Φῶς Ἱλαρόν. Τὸ Προκείμενον τῆς ἡμέρας καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἠσαΐου τὸ Ἀνάγνωσμα. (μγ´ 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ὑμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε, καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός· ὅτι ἀπ᾽ ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

Παροιμιῶν τὸ Ἀνάγνωσμα. (λα΄ 10, 13-18, 20, 25).
Γυναῖκα ἀνδρείαν τίς εὑρήσει; τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν ἡ τοιαύτη. Μηρυομένη ἔρια καὶ λίνον, ἐποίησεν εὔχρηστον ταῖς χερσὶν αὐτῆς. Ἐγένετο ὡσεὶ ναῦς ἐμπορευομένη μακρόθεν, συνάγει δὲ αὕτη τὸν βίον. Καὶ ἀνίσταται ἐκ νυκτῶν, καὶ ἔδωκε βρώματα τῷ οἴκῳ, καὶ ἔργα ταῖς θεραπαίναις. Θεωρήσασα γεώργιον ἐπρίατο, ἀπὸ δὲ καρπῶν χειρῶν αὐτῆς, κατεφύτευσε κτῆμα. Ἀναζωσαμένη ἰσχυρῶς τὴν ὀσφὺν αὐτῆς, ἤρεισε τοὺς βραχίονας αὐτῆς εἰς ἔργον. Ἐγεύσατο ὅτι καλόν ἐστι τὸ ἐργάζεσθαι, καὶ οὐκ ἀποσβέννυται ὅλην τὴν νύκτα ὁ λύχνος αὐτῆς. Χεῖρας δὲ αὐτῆς διήνοιξε πένητι, καρπὸν δὲ ἐξέτεινε πτωχῷ. Ἰσχὺν καὶ εὐπρέπειαν ἐνεδύσατο, καὶ εὐφράνθη ἐν ἡμέραις ἐσχάταις.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (γ΄ 1-9).
Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ

διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Εἰς τὴν Λιτὴν ψάλλομεν. Ἦχος α΄.

Εὐφραίνεται ἐνθέως, ἡ σὲ βλαστήσασα πατρίς, ἡ τὴν ἁγίαν σοῦ κλῆσιν φέρουσα, Χρυσῆ καλλιπάρθενε, Ἀθληφόρε θεόφρον, σεμνυνομένη τῇ ἀθλήσει σου· ὡς γὰρ ἄνθος χρυσόμορφον, ἐκ ταύτης ἀνέτειλας, καὶ τῇ ὀσμὴ τῶν χαρίτων σου, τὴν Ἐκκλησίαν εὐφραίνεις, μαρτυρικῶς ἀριστεύσασα· ἥ τὴν σεπτὴν τελοῦσα μνήμην σου, γεραίρει τοὺς ἄθλους σου, τῆς ἀρωγῆς σου τὰς ἐκφάνσεις, ἀπεκδεχομένη ἀεί, καὶ τῷ νυμφίῳ σου Χριστῷ βοῶσα· Κύριε δόξα σοι.

Ὁ αὐτός·

Ἁγνείας ἀντιποιουμένη, τὸ ὑπὲρ Χριστοῦ μαρτύριον, νομίμως ἀνεδέξω, οὐρανόφρονι γνώμῃ· ὅθεν χερσὶ τυραννικαῖς, μαστιζομένη σφοδρῶς, καὶ τὸ ἁπαλὸν λωροτομουμένη σῶμά σου, οὐδόλως σεσάλευσαι, τοῦ θεμελίου τῆς πίστεως· ἀλλ’ ἄκλινως ἀτενίζουσα, τῷ σῷ νυμφίῳ Χριστῷ, τῆς τῶν ἐχθρῶν περιεγένου μανίας, ἐπὶ πλεῖον ἀναπτουσα, τὸ πῦρ τῆς θείας ἀγάπης· δι᾽ οὗ τὴν μὲν πλάνην ἐφλεξας, τοὺς δὲ πιστοὺς ἐθέρμανας, πρὸς ἔνθεον ζῆλον. Καὶ νῦν τὸν χρυσοκόλλητον στέφανον, ὡς παρθενομάρτυς

λαβοῦσα, ἀπαύστως ἱκέτευε Χρυσὴ θεόφρον, ὑπὲρ τῶν τιμώντων σε.

Ὁ αὐτός.

Τὴν χρυσεπώνυμον κόρην, τὴν ταῖς πάλαι Ἀθληφόρσις ἁμιλληθεῖσαν, Χρυσῆν τὴν χρυσοστόλιστον, αἰνέσωμεν λέγοντες· Χαίροις ἡ τὴν ἄθλησιν, τῇ παρθενία συνάψασα, καὶ τοῖς ἄθλοις τῆς πίστεως, τὴν πλάνην αἰσχύνασα· χαίροις ἡ ὡς χρυσίον πολύτιμον, ἐν τῇ χωνείᾳ τῶν καμάτων, πολυειδῶς δοκιμασθεῖσα, καὶ ὡς παρθένος καθαρωτάτη. τω Θεῷ Λόγῳ νυμφευθεῖσα· χαίροις ἡ τὸ σῶμά σου, μεληδὸν τμηθεῖσα, καὶ ὡς περιστερὰ λογική, περιηργυρωμέναις πτέρυξι πρὸς οὐρανόν, ἐν χλωρότητι χρυσίου, κατὰ Δαβὶδ πετασθεῖσα. Ἀλλ᾽ ὦ Χρυσῆ παμμακάριστε, πρέσβευε σῴζεσθαι, τοὺς σὲ μακαρίζοντας.

Δόξα. Ἦχος δ'.

Τὴν θαυμαστὴν σοῦ ἄθλησιν, καὶ τῆς ψυχῆς τὸν τόνον, ἡ Ἐκκλησία τοῦ Θεοῦ γεραίρει. Χρυσῆ Παρθενομάρτυς ἔνδοξε· σὺ γὰρ ὡς παρθένος φρονίμη, ἄσπιλον τὸ κάλλος τῆς ἁγνείας ἐφύλαξας· καὶ ὡς ἀδάμας στεῤῥός, τῇ παρατάσει τῶν ἄθλων, τὴν τῶν ἐχθρῶν ἰσχὺν ἐξενεύρισας· καὶ τὸ ἁπαλὸν σαρκίον σου, μεληδὸν κατατμηθεῖσα, ἄτμητον τὴν ψυχήν, ἐν τῇ πρὸς Χριστὸν ἀγάπη διετήρησας, καὶ νῦν τὴν δόξαν αὐτοῦ ὁρῶσα, καὶ ἐν μεθέξει θεουμένη, πρέσβευε καλλιπάρθενε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον.
Ἐκ παντοίων κινδύνων…

Εἰς τὸν Στίχον, Στιχηρὰ Προσόμοια. Ἦχος α΄.
Πανεύφημοι Μάρτυρες.
Χρυσέοις σου τρόποις καὶ σεμνοῖς, κοσμουμένη πάνσεμνε, παρθενικὸν ἐνδιαίτημα, ὤφθης καὶ πάγκαλον, ἀλλά σοι βασκάνας, ἐχθρὸς ὁ παμβέβηλος, ἐπῆλθέ σοι ὁρμὴ τοῦ ἀλάστορος, ἀλλὰ συνέτριπται, τῇ ἀτρέπτῳ καρτερία σου, καὶ σοῖς ἄθλοις, Χρυσῆ καλλιπάρθενε.
Στίχ.: Ὑπομενὼν ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μου.
Ὡς θῆρες ἀτίθασοι Ἄγαρ οἱ ἀπόγονοι, ἐκ τοῦ φυτοῦ αἰωρήσαντες, σὲ καλλιπάρθενε, ἔργον μαχαιρῶν σε, μανικῶς εἰργάσαντο, τὸ σῶμά σου ὡς κύνες σπαράξαντες, καὶ ὡς χρυσόπτερος, ἀηδὼν καὶ λιγυρόφωνος, ἐπετάσθης, πρὸς δόξαν οὐράνιον.
Στίχ.: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας…
Ὡς νύμφη Χριστοῦ περικαλλής, ὡς ἁγνὴ καὶ ἄμωμος, καὶ ἀθληφόρος περίδοξος, χερσὶ κατέχουσα, τὴν λαμπάδα Μάρτυς, πρὸς τὸν μέγαν θάλαμον, Χριστοῦ τοῦ σου νυμφίου ἀνέδραμες, τούτῳ προσᾴδουσα, τὸ καινὸν ᾆσμα χρυσώνυμε, καὶ ὁρῶσα, τὸ κάλλος τὸ ἄχραντον.
Δόξα. Ἦχος πλ. β΄.
Ἡ ἐν τῷ κάλλει τοῦ σώματος, τὴν ψυχικὴν καλλονὴν ἐμφαίνουσα, Χρυσῆ μακάρια, ἀθλητικὴν ἐζήλωσας

ἀρετήν, καὶ ἐν ἐσχάτοις καιροῖς, καλῶς ἐπορεύθης, τὴν ὁδὸν τοῦ μαρτυρίου· Χριστὸς γὰρ ὃν ἠγάπησας, ἰσχὺν σὲ περιζώσας, ἀήττητον ἔδειξεν, αἰκίαις δριμυτάταις· καὶ ἀνδρικῶς ἀριστεύσασαν, ἐπαξίως ἐδόξασε, δόξῃ ἀκηράτῳ. Αὐτὸν ἱκέτευε, Παρθενομάρτυς ἔνδοξε, διδόναι πᾶσι τὸ μέγα ἔλεος.
Καὶ νῦν. Θεοτοκίον.
Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή...

Νῦν ἀπολύεις, τὸ Τρισαγίον.
Ἀπολυτίκια. Ἦχος γ΄. θείας πίστεως.
Σκεῦος χρύσεον, τῆς παρθενίας, καὶ ἀκήρατος, νύμφη Κυρίου, ἐχρημάτισας Χρυσῆ καλλιπάρθενε· τὴν γὰρ ἁγνείαν ἀμέμπτως φυλάττουσα, ὑπὲρ Χριστοῦ, θεοφρόνως ἐνήθλησας. Μάρτυς ἔνδοξε, ἱκέτευε τὸν Νυμφίον σου, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.
Ἕτερον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.
Ἀλμωπία καυχᾶται τοῖς σπαργάνοις σου πάνσεμνε, καὶ Μακεδονία γεραίρει τὴν ἁγίαν σοῦ ἄθλησιν, Χρυσῆ Παρθενομάρτυς τοῦ Χριστοῦ, ἰσότιμε Μαρτύρων εὐκλεῶν· μεθ᾽ ὧν πρέσβευε ἀπαύστως ὑπὲρ ἡμῶν, τῶν πίστει ἐκβοώντων σοι· Δόξα τῷ δεδωκότι σοι ἰσχύν· δόξα τῷ σὲ στεφανώσαντι· δόξα τῷ χορηγοῦντι διά σου, ἡμὶν χάριν καὶ ἔλεος.
Δόξα. Ἕτερον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Φυτοῦ εὐθαλέστατον, ἐν Ἀλμωπίᾳ φυέν, ἀθλήσει ἐδόξασας, Παρθενομάρτυς Χρυσῆ, Χριστοῦ τὸν Θεὸν ἡμῶν. ·Ὅθεν Μακεδονία, μυστικῶς ἀρδευθεῖσα,

ῥείθροις τῶν σῶν αἱμάτων, κατὰ χρέος τιμᾷ σε. Ἀεὶ Χριστὸν ἱκέτευε, ὑπὲρ τῶν εὐφημούντων σε.
Καὶ νῦν. Θεοτοκίον.
Τὸ ἀπ᾽ αἰῶνος ἀπόκρυφον...
Ἀπόλυσις.

## Εἰς τὸν Ὄρθρον

Μετὰ τὴν ᾱ᾽ Στιχολογίαν, Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.
Νεᾶνις ἐκλεκτή, ἀληθῶς ἀνεδείχθης, καὶ ἤθλησας ῥῬτεῤῥῶς, δι᾽ ἀγάπην Κυρίου, Χρυσῆ ἀειμακάριστε, καὶ ἀξίως δεδόξασαι. Ὅθεν σήμερον, ἡ σὴ πατρὶς ἑορτάζει, τὴν σὴν ἄθλησιν, ἀγαλλομένη καρδία, σκιρτῶσα τῇ δόξῃ σοῦ.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Κυήσασα σαρκί, τὸν Ὑπέρθεον Λόγον, ῥυόμενον ἡμᾶς, τῆς ἀρχαίας κατάρας, Παρθένων ὤφθης στήριγμα, καὶ Μαρτύρων στεφάνωμα· σοῦ ὀπίσω δέ, καὶ ἡ Χρυσώνυμος κόρη, ἀπενήνεκται, εἰς τὸν ναὸν Βασιλέως, Παρθένε ὡς γέγραπται.

Μετὰ τὴν β᾽ Στιχολογίαν, Κάθισμα. Ἦχος δ΄. ΚατεπλαγηΙωσηφ.
Κατεπλάγησαν τὴν σήν, ὑπομονὴν τὴν καρτεράν, καὶ τὴν ἀτρεπτον ῥοπήν, καὶ τὴν ἀγάπην πρὸς Χριστόν, τῶν δυσσεβούντων οἱ δῆμοι Παρθ νομάρτυς᾽ ὅθεν ἀπηνῶς, σὲ ἠκίζοντο, πλείσταις ἀπειλαῖς, ἐπιθέμενοι καὶ τὸ σεπτὸν λωροτομουσι σῶμά σου, καὶ μεληδὸν

κατατέμνουσι· ὅθεν συνήφθης, τῷ σῷ νυμφίῳ, Χρυσῆ θεόφρον τελεώτερον.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Μυροθήκη λογική, καὶ πολυτίμητος Ἁγνή, ἀνεδείχθης ἀληθῶς, σχοῦσα τὸ μῦρον τῆς ζωῆς, ἐν τῇ ἀχράντῳ κοιλίᾳ σου ἀποῤῥήτως. Τούτου τὴν ὀσμήν, τὴν οὐράνιον, δέδεκται σαφῶς, Χρυσῆ ἡ πάνσεμνος, καὶ εἰς ὀσμὴν ὡς γέγραπται ἔδραμεν, αὐτοῦ τῆς δόξης δι᾿ ἀΕματος, καὶ νῦν δρῶσα, τὰς σὰς ἐλλᾶμ᾿ ψεις, ὑμνολογεῖ σὲ Πανύμνητε.

Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.
Μετὰ πολλὰς καὶ χαλεπὰς τιμωρίας, ἐπὶ τοῦ δένδρου τὸ σὸν ἅγιον σῶμ οἱ δυσσεβεῖς Χρυσώνυμε κρεμάσαντες, ἰταμῶς ἐτίτρωσκον, ὥσπερ ἀγριο καὶ μαχαίραις ἔτεμον, κατὰ μέλη λυσσῶντες. θ οἱ, πιστοὶ κηδεύσαντες σεμνῶς, Μεγαλομάρτυς , ἀνυμνοὺν τοὺς ἄθλους σου.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Τὸν Ὑπερούσιον Θεὸν τετοκυῖα, μετὰ σαρκὸς ὑπερφυῶς Παναγία, τὴν τοῦ Ἀδὰμ κατᾶραν ἐξηφάνισας, καὶ τῷ κόσμῳ ἐβλυσας, εὐλογίαν καὶ χάριν, καὶ χαρὰν οὐράνιον, καὶ πηγὴν εὐφροσύνης· διὸ πιστῶς βοῶμεν σοι· Χαῖρε Παρθένε, Χριστιανῶν τὸ καύχημα.

Τὸ α᾿ Ἀντίφωνον τοῦ δ᾿ ἦχου.

Προκείμενον: Ὑπομένων, ὑπέμεινα τὸν Κύριον καὶ προσέσχε μοι…
Στίχ.: Καὶ ἔστησεν ἐπὶ πέτραν τοὺς πόδας μου…
Εὐαγγέλιον κατὰ Μᾶρκον: Τῷ καιρῷ ἐκείνῳ, ὄντος τοῦ Ἰησοῦ ἐν Βηθανίᾳ… (Ζήτει αὐτὸ τῇ ιζ᾽ Παρασκευὴ τοῦ Λουκᾶ).
Ὁ Ν΄.
Δόξα: Ταῖς τῆς Ἀθληφόρου…
Καὶ νῦν: Ταῖς τῆς Θεοτόκου…
Ἰδιόμελον. Ἦχος πλ. β΄. Στίχ.: Ἐλεῆμον, Ἐλέησον μὲ ὁ Θεός…
Ἐν ἀσθενείᾳ φύσεως, τὴν τῶν Μαρτύρων ἐζήλωσας στεῤῥότητα, Χρυσῆ χρυσοπάρθενε · καὶ ποικίλως δοκιμασθεῖσα, καὶ διὰ πολλῶν διελθοῦσα θλίψεων, μαρτυρικῆς εὐκληρίας ἔτυχες, ἐν τῇ ἄνω βασιλείᾳ· Χριστὸς γὰρ ὃν ἐδόξασας, ἀληθῶς σὲ δοξάζει πάνσεμνε.

Οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τῆς Ἁγίας, οὗ ἡ ἀκροστιχίς:Χρυσώνυμον κόρην, χρυσοῖς μέλπω λόγοις. Γερασίμου.

ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου:
Χαρίτων ὢν ἄβυσσος. Λόγε Θεοῦ Ὑπερούσιε, τὸν νοῦν μου χαρίτωσον, καὶ λόγον δέομαι, δὸς μοι Κύριε, ὡς ἂν ἀνευφημήσω, τῆς σῆς καλλιμάρτυρος, Χρυσῆς τὴν ἄθλησιν.
Ῥημάτων κατέπτυσας, τῶν ἐνάγων καλλιπάρθενε, δι᾽

ὧν ἐπειρᾶτό σε, συλᾶν ὁ τύραννος, ἀτενίζουσα, Χριστῷ ἀπὸ καρδίας, ᾧ πίστει νενύμφευσαι, ὡς ἀδιάφθορος.
Ὑψώσασα πάνσεμνε, πρὸς τὸν Θεὸν καὶ Σωτῆρα σοῦ, ψυχῆς σου τὴν ἔφεσιν, οὐδόλως ἐφριξας, τὴν ἀτίθασον, Ἀγαρηνῶν μανίαν, ἀλλ' ἔστης ἀσάλευτος, πέτρα τῆς πίστεως.
Σαρκὸς ὡραιότητα, περιφανῶς διαπρέπουσαν, ἰδόντες οἱ ἄνομοι, βασκάνῳ ὄμματι, ἐβουλεύσαντο, χειρώσασθαί σε κόρη, ἀλλ᾽ ἥττηνται πάνσεμνε, στεῤῥῷ ἐνστάσει σου.
Θεοτοκίον.
Ὡς Μήτηρ πανάχραντος, τοῦ Ποιητοῦ πάσης κτίσεως, καὶ πάντων διάσωσμα, τῶν πεποιθότων ἐν σοί, σωτηρίας με, ἀξίωσον Παρθένε· τῇ σὴ προστασία γάρ, σπεύδω ἑκάστοτε.

ᾨδὴ γ΄. Τοὺς σοὺς ὑμνολόγους.
Νεᾶνιν ἰδὼν σὲ σεμνοτάτην, Χρυσῆν ὁ φθορεὺς τῶν ἀγαθῶν, φθάνω πολλῷ ἐπῆλθε σοι, ἀλλὰ τούτου συνέθλασας, τὴν κάραν τῇ ἀθλήσει σου, καὶ τὸν Χριστὸν ἐμεγάλυνας.
Ὕπηρξας ἀδείμαντος θεόφρον, ὁρμῇ τε καὶ βίᾳ ἀναιδεῖ, Χρυσῆ τοῦ κατασχόντος σε, καὶ τούτου ἐξεφαύλισας, τὸ βδελυρὸν ἐγχείρημα, ἀμετατρέπτοις ἐνστάσεσι.
Μανία καὶ δόλῳ μαχομένῃ, ἐχθρῶν δολερῶν Ἀγαρηνῶν, παρθένε χρυσεπώνυμε, ἀντέστης καρτερώτατα, ταῖς τούτων ἐπιθέσεσι, καρτερικῷ σοῦ

φρονήματι.
Οἱ φίλοι σοῦ ἅμα καὶ πλησίον. Χρυσῆ ὡς φησὶν ὁ ψαλμῳδός, ἐξ ἔναντι ἔστησαν, σφοδρῶς ἐπιχειροῦντες σοι, ἀλλ᾽ οὐδαμῶς προσέσχηκας, τοῦτον τοῖς λόγοις καί δάκρυσι.
Θεοτοκίον.
Ναμάτων πηγὴ ζωοδωρήτων, Ἁγνὴ Θεοτόκε Μαριάμ, αὐχμώσαν τὴν καρδίαν μου, τοῖς πάθεσι καταρδευσον, τοῖς ῥείθροις τοῦ ἐλέους σου, καὶ τῆς πολλῆς συμπαθείας σου.

Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.
Ἀνδρείως ἀθλήσασα, ὑπὲρ τῆς δόξης Χριστοῦ, Χρυσῆ παναοίδιμε, τὰς τῶν τυράννων βουλάς, εἰς τέλος ἐφαύλισας· ὅθεν τῶν εὐσεβούντων, τὰς ψυχὰς Νεομάρτυς, ἔπλησας εὐφροσύνης, τῇ στεῤῥῇ σου ἀθλήσει· διό σου τὴν φωσφόρον, μνήμην ἑορτάζομεν.
Δόξα. Καὶ νῦν. Θεοτοκίον.
Χριστὸν γαλουχήσασα, τὸν τοῦ παντὸς Ποιητήν, τὸν πάντα ἐκτρέφοντα, καὶ συγκρατοῦντα χειρί, Παρθένε Πανάχραντε, θρέψον με μετανοίας, οὐρανίαις ἐννοίαις· σῶσον ἐκ τῆς χειρός με, τῆς βιαίας τοῦ πλάνου· σοὶ γὰρ τὰ τῆς ἐλπίδος μου, Ἁγνὴ ἀνατίθημι.

ᾨδὴ δ΄. · Ὁ καθήμενος ἐν δόξῃ.
Κολακείας ὑπέρειδες, καὶ βασάνους οὐκ ἔπτηξας, θεολήπτῳ γνώμῃ, τοῦ Χριστοῦ τὸ ἅγιον ὄνομα, ὁμολογοῦσα Χρυσὴ ἐνθέῳ στόματι, καὶ τὴν ἄνοιαν τῶν

δυσσεβῶν στηλιτεύουσα.
Ὁλοτρόπῳ διανοίᾳ, τὸν Χριστὸν ἀγαπήσασα, τὸν ὡραῖον κάλλει, κόρη παρὰ πάντας γέγραπται, τὴν τῶν γονέων ἀγάπην ὑπερέδραμες, πρὸς οὐράνιον, ἐπειγομένη υἱότητα.
Ῥήματα τῶν σὲ τεκόντων, καὶ τὸ φίλτρον τὸ ἔνθερμον, ὡς Βελίαρ λόγους. Μάρτυς σταθερῷ σοῦ φρονήματι, ὁλοσχερῶς ἀπεκρούσω καὶ ὑπέψαλλες, τῷ νυμφίῳ σου· Δόξα Χριστὲ τῇ δυνάμει σου.
Ἡ σεμνὴ σοῦ πολιτεία, καὶ ἠθῶν ἡ εὐπρέπεια, τὸν ἀρχαῖον ὄφιν, κατὰ σοῦ δολίως διήγειρεν, ἀλλὰ Μαρτύρων ὑπέδυς τὰ παλαίσματα, καὶ κατέβαλες, τούτου ὀφρὺν τὴν ἀγέρωχον.
Νοῦν στεῤῥότατον καὶ τρόπον, ἀληθῶς ἀκατάπληκτον, ἐν τῇ παρατάσει. Μάρτυς τῶν ποικίλων κολάσεων, ὡς ἀληθῶς ἐπεδείξω Χρυσῆ ἔνδοξε, καὶ κατέπληξας, τῶν ἀσεβῶν τὰ φρονήματα.
Θεοτοκίον.
Χριστονύμφη πανολβία, παρθενίας φαιδρότητι, καὶ Μαρτύρων ἄθλοις, καθωραϊσμένη Πανάχραντε, ἡ Ἀθληφόρος Χρυσῆ ἀρτίως δέδεικται, ἐκβοῶσά σοι· Χαῖρε Παρθένε Παντάνασσα.

Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.
Ῥαβδίσματα ἤνεγκας, Χρυσῆ καθάπερ ἄσαρκος, χρόνον ἐπὶ πλεῖστον καρτεροῦσα, δι ὧν εἰς τέλος ἀποῤῥαπίζεις σεμνή, τὰς τοῦ νοητοῦ ὄψεις ἐχθροῦ, ἀσθενείᾳ φύσεως, καὶ δυνάμει τῆς πίστεως.

Ὑπῆλθες τὸ στάδιον, γενναίως τῆς ἀθλήσεως, καὶ τὰ ἐπὶ γῆς ἀρνησαμένη, οὐ κατεκάμφθης τοῖς μητρικοῖς ὀδυρμοῖς, οὐδὲ τοὺς πατρῴοις στεναγμοῖς, Μάρτυς μεγαλόψυχε, ὡς ἀδάμας στεῤῥότατος.
Συνέσει ἐκλάμπουσα, καὶ ψυχικῇ εὐθύτητι, ὡς ἀμνὰς Κυρίου ἀκεραία, θανεῖν προθύμως ὑπὲρ τὸ ζῆν δι᾿ αὐτόν, Μάρτυς ᾑρετίσω ἀνδρικῶς· εὖγε τῆς ἀνδρείας σου! δι᾿ ἧς χαίρουσα ἤθλησας.
Οἱ χείμαῤῥοι ῥεύσαντες, τῶν καθαρῶν αἱμάτων σου, χλαῖναν χρυσοΰφαντον ἁγίαν, Χρυσῆ θεόφρον λαμπρῶς σοι ὕφαναν, ἣν στολισαμένη εὐπρεπῶς, ὡς παρθένος ἄφθορος, πρὸς οὐράνια ἔδραμες.
Θεοτοκίον.
Ἱλέῳ σου ὄμματι, παντελεῆμον Δέσποινα, ἔπιδε ἐξ ὕψους δυσωπῶ σέ, ἐπὶ τὴν θλῖψιν τῆς ταπεινῆς μου ψυχῆς, καὶ τῆς δυναστείας τοῦ ἐχθροῦ, ταύτην ἀπολύτρωσαι, τῇ ἀμάχῳ δυνάμει σου.

ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.
Σαρκὸς οὐδόλως ἐφρόντισας, δεινῶς αἰκιζομένης ταῖς μάστιξι. Χρυσῆ πανεύφημε, ἀλλ᾿ ἀπτοήτως διήνυσας, τοῦ μαρτυρίου Μάρτυς, τὸ μέγα στάδιον,
Μὴ δειλιάσασα πάνσεμνε, πικρὰς λωροτομίας τοῦ σώματος, ὡς φύσις ἄναλκις, ῥείθροις αἱμάτων ἀπέπνιξας, τὸν πονηρὸν διώκτην, Χρυσῆ χρυσόμορφε.
Εἰς καλιὰν ἐπουράνιον, Χρυσῆ ἀπὸ τοῦ δένδρου ἀνέδραμες, κατατμηθέντος σου, τοῦ καθαροῦ Μάρτυς σώματος, καὶ τῆς ζωῆς τοῦ δένδρου, τρυγὰς τὰς

χάριτας.
Λαμπρῶς γεραίρει τὴν μνήμην σου, Χρυσῆ Παρθενομάρτυς Πολύαθλε, ἡ σὲ βλαστήσασα, πατρὶς ἣν φρουρεῖ καὶ φύλαττε, τῇ σῇ πρὸς τὸν Δεσπότην, πρεσβεία πάντοτε.
Θεοτοκίον.
Πηγὴ χρηστότητας ἄφθονος, καὶ βρύσις εὐσπλαγχνίας ἀκένωτος, οὖσα Πανάχραντε, τὰ τοῦ ἐλέους σου ῥεύματα, πηγάζεις ζωηῤῥύτως, τοὺς γεραίρουσι.

Κοντάκιον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.
Χρυσωθεῖσα Πνεύματι τῷ Παναγίῳ, τὴν ἁγνείαν ἄφθορον, τὴν σὴν ἐτήρησας Χριστῷ, καὶ ὑπὲρ φύσιν ἠγώνισαι, Παρθενομάρτυς Χρυσῆ ἀξιαγαστε.

Ὁ Οἶκος.
Ἠθῶν ἁπλότητι σεμνῶν, καὶ τρόπων καταστάσει, ἀκεραιότητι ψυχῆς, καὶ ἀνεπιλήπτῳ ἐν πᾶσιν ἀγωγή, λαμπρυνομένη εὐσεβῶς, ὤφθης νεᾶνις εὐπρεπής, καὶ τοῦ Παμβασιλέως, θυγάτηρ ὄντως ἐκλεκτή, χρυσώνυμε παρθένε. Τίς οὖν ὑμνήσει σου ὡς δεῖ, τὸ μέγεθος τῶν ἄθλων, καὶ τὴν ἀνένδοτον στοργήν, ἣν ἔσχες πρὸς τὸν Κτίστην; μετὰ γὰρ πλείστους αἰκισμούς, καὶ δοκιμὰς ποικίλας ἐκ τοῦ δένδρου αἰωρηθεῖσα, βαρβαρικῇ θηριωδίᾳ μεληδὸν τὸ παρθενικὸν κατετμήθης σῶμά σου, καὶ τῷ Χριστῷ τελεώτερον συνήφθης, Παρθενομάρτυς Χρυσῆ ἀξιάγαστε.

Συναξάριον.
Τῇ ιγ᾽ τοῦ αὐτοῦ μηνός, Μνήμη τῆς Ἁγίας ἐνδόξου Παρθενομάρτυρος Χρυσῆς τῆς νέας, ἀθλησάσης ἐν ἔτει 1795.
Στίχ.:
Ἐν ταῖς βασάνοις χρυσὸς οἷον καμίνῳ,
Χρυσῆ ἐδείχθης ἠγλαϊσμένη ὅλη.
Χρυσέαν δεκάτῃ ἠδὲ τρίτῃ ἐμέλισαν κούρην.

ᾨδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.
Ὡς πολύτιμος, χρυσὸς καὶ καθαρώτατος, Χρυσῆ πανεύφημε, δοκιμασθεῖσα στεῤῥῶς, πυρὶ τῆς ἀθλήσεως, ὅλη ἀκήρατος, ἀναδέδειξαι, καὶ ἐν χαρᾷ παρέστηκας, δεξιᾷ τῇ τοῦ Σωτῆρος.
Λόγοις ἤμβλυνας, ποικίλων ὑποσχέσεων, καὶ τὰ βουλεύματα, τελειοτάτῳ νοΐ, παρθένε ἠκύρωσας, τοῦ κοσμοκράτορος, τῇ ἐνστάσει σου, καὶ τοῦ Χριστοῦ ἐκυρωσας, ἔτι ἅπαξ θείας ῥήσεις.
Οὐκ ἐσάλευσαν, τὸν οἶκον τῆς καρδίας σου, βασάνων πρόσρηξις, οὔτε μαστίγων φορά, οὐδὲ πῦρ ὁμόδουλον, Χρυσῆ πανεύφημε· σὺ γὰρ ἄσειστος, διέμεινας ἐν ἅπασι, τοῦ Χριστοῦ τῇ ἀγαπήσει.
Γνόντες ἔνδοξε, ψυχῆς σου τὴν στεῤῥότητα, Ἄγαρ οἱ ἔκγονοι, ἱταμωτάτῃ ψυχῇ, ὡς λύκοι ἐσπάραξαν, καὶ ἐξεμέλισαν, σὲ τὴν ἄσπιλον, ἀμνάδα Χρυσεπώνυμε, τοῦ Ποιμένος τοῦ μεγάλου.
Ὁλοκαύτωμα, καὶ προσφορὰ εὐπρόσδεκτος, καὶ θῦμα τέλειον, τῷ ἀθλοθέτῃ Χριστῷ, προσήχθης πανεύφημε,

τέλος μακάριον, μετὰ πλείονας, βασάνους τε καὶ μάστιγας, ἐν καμίνῳ δεξαμένη.

Θεοτοκίον.

Ἱλαστήριον, τῆς ἀνθρωπίνης φύσεως, ὤφθης Πανάμωμε, ἀποτεκοῦσα Χριστόν, τὸν ἄφεσιν βλύσαντα, καὶ ἀπολύτρωσιν, τοῖς κραυγάζουσι· Χαῖρε Παρθένε Ἄχραντε, χαῖρε Μῆτερ τοῦ Κυρίου.

Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Σθένος θεϊκὸν ἐνδεδυμένη, τοῦ θήλεος τὴν ἀσθένειαν ἀπέῤῥιψας· ἔνθεν ὡς ἀσώματος, κόρη ἠνδραγάθησας καὶ πόνων τὴν παράτασιν καθυπομένουσα, παρέλυσας τὰς χεῖρας δαιμόνων, καῖ χερσὶ Κυρίου, παρέθου σου τὸ πνεῦμα.

Γέγονεν ἡ ἄθλησίς σου κόρη, ἀπίστοις μὲν καταισχύνῃ καὶ καταπτῶσις, τοῖς πιστοῖς δὲ πρόξενος, εὐφροσύνης κρείττονος· περιστερὰ ὡς θεία γάρ, καὶ ἀηδῶν νοητή, ἐφάνης ἐν καιρῷ τῆς δουλείας, παραμυθουμένη, πιστοὺς τῇ σῇ ἀθλήσει.

Εὔᾳ μὲν τὸ πάλαι ὁ ἀλάστωρ, προσῆλθες ἀπατηλῶς διὰ τοῦ ὄφεως· σοὶ δὲ Χρυσεπώνυμε, διὰ τῶν γονέων σου, ὑποδραμὼν συντέτριπται, ἀντιτυπία σου· ἐνέτυχε στεῤῥὴ γὰρ ὡς πέτρα, τῇ σῇ Ἀθληφόρε, ἀνδρεία καὶ φρονήσει.

Ῥώμῃ τοῦ Χριστοῦ κραταιουμένη, ὑπέστης λωροτομίας τὰς τοῦ σώματος, ὥσπερ ἀλλοῦ πάσχοντος, αἰνὸν Θεῷ φέρουσα, καὶ ὀβελίσκοις πάνσεμνε, πυρακτωθεῖσι δεινῶς, τρωθεῖσα σοῦ τὰ

μέλη Ἁγία, ἄτρωτος ἀνῆλθες, πρὸς δόξαν οὐρανίαν.
Θεοτοκίον.
Ἅπας νεανίδων μακαρίων, Παρθένε περιεστώς σοι θεῖος ὅμιλος, τὴν μεγαλειότητα, ἀνυμνεῖ τῆς δόξης σου, μεθ᾽ ὧν Χρυσῆ ἡ πάγχρυσος, χρυσῇ βοᾶ σοι φωνή· Ὑπερφωτε Βασίλισσα χαῖρε· χαῖρε Ἀθλοφόρων, χαρὰ καὶ θυμηδία.

ᾨδὴ θ´. Ἅπας γηγενής.
Σῶμά σου σεμνή, δεινῶς διεσπάραξαν, καὶ κατεμέλισαν, χεῖρες πλήρεις αἵματος, ἀπὸ τοῦ δένδρου ἀπαιωρησαντες, μετὰ πολλὰς βασάνους σὲ Χρυσὴ ὑπέρτιμε, τιρὸς Χριστὸν δέ, χρυσωθὲν τῇ χάριτι, τὸ σὸν πνεῦμα φαιδρῶς ἀνελήλυθε.
Ἵνα τῆς Χριστοῦ, ἀφράστου τερπνότητος, καὶ ὡραιότητος, τύχης καλλιπάρθενε, σαυτὴν βασάνους πλείστοις ἐκδέδωκας, καὶ εὐσεβῶς τελέσασα Μάρτυς τὸν δρόμον σου, τοῦ σου πόθου, εὗρες τὴν ἀπολαῦσαν, θεωθεῖσα Χρυσὶι κατὰ μέθεξιν.
Μάρτυς ἀληθής, ἐσχάτοις ἐν ἔτεσιν, ὤφθης τῆς πίστεως· ἔναντι τυράννων γάρ, Χριστοῦ τὸ Ὄνομα ὡμολόγησας, καὶ ὑπὲρ τούτου χαίρουσα ἐσφαγιάσθης σεμνή· διὰ τοῦτο, τιμαὶ ὑπερκόσμιοι, ὡς παρθένον καὶ μάρτυρα ἐστεψαν.
Ὅλη εὐλαβῶς, τῷ πνεύματα χαίρουσα, πατρίς σου σήμερον, ἄγει ἑορτάζουσα, τὴν σὴν ἁγίαν μνήμην καὶ πάνσεπτον, Χρυσῆ Θεομακάριστε Παρθενομάρτυς Χριστοῦ· ἥν λιταῖς σου, σκέπε καὶ διάσῳζε, ἀπὸ πάσης

ἀνάγκης καὶ θλίψεως.
Θεοτοκίον.
Ὕμνους καὶ ᾠδάς, ὑφαίνων τῇ δόξῃ σου, ἀνάγνῳ στόματι, Πάναγνε Ὑπέραγνε, Εὐλογημένη Θεοχαρίτωτε, τὴν σὴν αἰτοῦμαι συνάρσιν, ἥν ἀεὶ δίδου μοι, ἵνα πάσης, ῥύωμαι ἑκάστοτε, τοῦ ἐχθροῦ ἐπηρείας καὶ θλίψεως.

Ἐξαποστειλάριον. Ἐν πνεύματι τῷ ·Ἱερῷ.
Ἐν ἀσθενείᾳ φύσεως, καὶ νεότητος ὥρα, τὸν παλαμναῖον δράκοντα, καὶ ἀρχέκακον ὄφιν, ὑπερφυῶς ἀθλήσασα , εὐσθενῶς κατέβαλες, καὶ τὸ τῆς νίκης σου στέφος, ἐκομίσω ἐκ Χριστοῦ, ὡς παρθένος εὐκλεής, Χρυσῆ καὶ Μάρτυς Θεόφρων.
Θεοτοκίον.
Χρυσότευκτον ἀνάκτορον, καὶ χρυσήλατος θρόνος, καὶ θάλαμος ὑπέρλαμπρος, καὶ παστὰς φωτοφόρος, Παρθένε ἐχρημάτισας, ἐν τοΕς κόλπους φέρουσα, τὸν Βασιλέα τίις δόξης, εἰς ἀνάπλασιν βροτῶν· ὃν δυσώπει ἐκτενῶς, ὑπὲρ εἰρήνης τοῦ κόσμου.

Εἰς τοὺς Αἴνους. Ἱστῶμεν Στίχους δ΄, καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος δ΄. Ἔδωκας σημείωσαν.
Ἔδωκας τῷ Κτίστῃ σου, καὶ ἀθανάτῳ Νυμφίῳ σου, πολιτείας σεμνότητα, ἁγνείαν ἀμόλυντον, καὶ τοῦ μαρτυρίου, ἄθλους τοὺς ἁγίους, δι᾽ ἀγαπησεως θέρμης, οἱαπερ προῖκα χρυσῶν πολύφερνον· διὸ σὲ πρὸς οὐράνιον, αὐτὸς κατῴκισε θάλαμον, ὡς

παρθένον καὶ Μάρτυρα, ὢ Χρυσὴ παμμακάριστε.
Ἔδωκας τὸ σῶμά σου, τὸ ἁπαλὸν καὶ ἀμίαντον, Νεομάρτυς Χρυσώνυμε, πρὸς πεῖραν κολάσεων, ἔρωτι ἐνθέῳ. Μάρτυς Ἀθληφόρε, τὴν δὲ ψυχήν σου ἀληθῶς, ἀνεπιβούλευτον καὶ ἀχείρωτον, καὶ ἄμεμπτον ἐτήρησας, καὶ μετὰ δόξης ἐχώρησας, πρὸς Χριστὸν τὸν νυμφίον σου, ὑπέρ πάντων πρεσβεύουσα.
Ετεμον τὸ σῶμά σου, ἐκ τοῦ αὐτοῦ αἰωρήσαντες, δυσσεβεῖς καὶ παράνομοι, σὺ δὲ τῆς νυμφεύσεως, τῆς ἐπουρανίου, τὴν στολὴν τὴν θείαν, ἐνδυσαμένη ἐν χαρα, πρὸς τὸν νυμφῶνα Χριστοῦ ἀνέδραμες, Χρυσῆ Μάρτυς πολύαθλε, καὶ καθορᾷς ἅπερ βλέπουσι, τῶν Ἀγγέλων τὰ τάγματα, καὶ Μαρτύρων ὁ σύλλογος.
Φύσεως νεότητι, καὶ γυναικείῳ ἐν σώματι, ἀνδρικὸν καὶ ἀήττητον, ἀνέλαβες φρόνημα, καὶ κατηγωνίσω, τὰς ἀρχὰς τοῦ σκότους, παλαίσμασιν ἀθλητικοῖς, καὶ τοῦ Σωτῆρος τὸ μέγα ὄνομα, ἐδόξασας πανένδοξε· διὸ αὐτὸς σὲ ἐδόξασεν, οὐρανίοις χαρίσμασιν, Ἀθληφόρε Χρυσώνυμε.
Δόξα. Ἦχος πλ. α΄.
Τῇ χρυσωνύμῳ κλήσει σου, χρύσεα τὰ σὰ πάντα γέγονε, Χρυσῆ, καλλιπάρθενε· τῇ γὰρ παρθενικῇ χρυσουργίᾳ, τὸ τῶν ἄθλων χρυσοῦν διάδημα, καλῶς ἀγωνισαμένη, ἀνεδήσω ἐκ χειρὸς τοῦ Κυρίου σοῦ. Ἀλλ᾽ ὡς τῆς δόξης Χριστοῦ κοινωνός, μετόχους καὶ ἡμᾶς, τῆς αὐτοῦ Βασιλείας ποίησον, μαρτυρικῇ παῤῥησίᾳ σου.

Καὶ νῦν. Θεοτοκίον.
Μακαρίζομεν σέ...
Δοξολογία μεγάλη καιΑπολυσις.

## Εἰς τὴν Λειτουργίαν

Τὰ Τυπικά, οἱ Μακαρισμοί, καὶ ἐκ τοῦ Κανόνος τῆς Ἁγίας ἡ γ᾿ καί, στ᾿ ᾠδή. Ἀπόστολον τῆς Ἁγίας Μαρίνης, ιζ΄ Ἰουλίου. Εὐαγγέλιον τῶν δέκα παρθένων, ὅπερ ζήτει τῷ ιζ᾿ Σαββάτῳ Ματθαίου.
Κοινωνικόν: Εἰς μνημόσυνον αἰώνιον...

Μεγαλυνάρια.
Τὴν παρθενομάρτυρα τοῦ Χριστοῦ, τὴν κεχρυσωμένην, σώματί τε καὶ τῇ ψυχή, Χρυσῆν τὴν ἁγίαν, ὑμνήσωμεν βοῶντες· Χαῖρε νύμφη Κυρίου, καὶ Μάρτυς ἔνδοξε.
Τὴν ἀμνάδα πάντες τὴν τοῦ Χριστοῦ, καὶ τῆς παρθενίας τὸν ἀσύλητον θησαυρόν, τὴν νύμφην τοῦ Κυρίου, ὅλην κεχρυσωμένην, Χρυσῆ τὴν ἀθληφόρον ὕμνοις τιμήσωμεν.
Χαίροις ἡ Κυρίου περιστερά, ἡ κεχρυσωμένα τὰ μετάφρενα ψαλμικῶς, καὶ ἠργυρωμένας, τὰς πτέρυγας πλουτοῦσα, Χρυσῆ μου Νεομάρτυς, σκέπε τοὺς δούλους σου.
Ὥσπερ καλλικέλαδος ἀηδών, Χρυσῆ νεομάρτυς, ἐπὶ δένδρον τὸ τοῦ Χριστοῦ, ὄνομα ἐφώνεις, λιγυρῶς καὶ ἐκεῖθεν, εἰς καλιὰν ἀνέπτης τὴν ἐπουράνιον.